ideo intemperans incontinente deterior est. Ex iis verò quos diximus, alter in mollitie specie magis est, alter est incontinens, incontinenti autem continens: molli tolerans opponitur: tolerare enim in resistendo consistit, continentia in continendo & cohibendo. diuersum autem est resistere & cohibere, non secus ac non superari, & vincere, vt hac causa continentia quàm tolerantia sit expetibilior. Qui verò deficit in iis aduersus quæ plerique enituntur, & possunt: is mollis est, & delicatus. deliciæ enim mollitia quædam est, qui scilicet pallium trahit, ne si ipsum tollat, dolorem sibi laborando creet: & dum ægrotantem imitatur, miserum esse non existimat, cùm misero similis sit. Pari modo quoque circa continentiam & incontinentiam res sese habet. non enim si quis vehementibus & modum excedentibus aut voluptatibus, aut doloribus vincitur, id mirum est, quin si resistens vincitur, venia etiam dignum habetur: vt Theodecti Philoctetes à vipera morsus, aut Carcini in Alope Cercyon: & sicut ij qui cùm cohibere risum nitantur, in profusum cachinnum erumpunt: id quod Xenophanto contigit. Sed si ab iis vincitur, iisque nequit repugnare, quibus plerique possunt resistere: atque id non ex natura generis, aut morbo. Quemadmodum apud Persarum reges mollities ex genere est: & sicut fœmina à mari distat. Iocosus quoque esse intemperans videtur sed est mollis. iocus enim cùm sit requies, relaxatio est. Iocosus verò ex iis est, qui in hac excedunt. Incontinentia alia temeritas, alia imbecillitas est. nam alij vbi consultarunt, in iis quæ decreuerunt, ob affectum postea non perstant: alij quia non consultarunt, ab affectu ducuntur, nonnulli enim, quemadmodum qui se prius titillarint, non titillantur: ita quoque ipsi cum præsenserint, ac præuiderint, seque ipsos & rationem præexcitarint, siue iucundum, siue molestum quippiam fuerit, ab affectu non superantur, præcipuè verò celeres, & atra bile affecti temeraria incontinentia sunt incontinentes. illi enim ob celeritatem, hi ob vehementiam rationem non expectant, propterea quòd procliues ad sequendam imaginationem sunt.

A διὸ ὁ ἀκόλαστος, χείρων τοῦ ἀκρατοῦς. τῶν δὲ λεχθέντων, τὸ μὲν, μαλακίας εἶδος μᾶλλον· ὁ δ᾽, ἀκρατής. ἀντίκειται δὲ, τῷ μὲν ἀκρατεῖ, ὁ ἐγκρατής· τῷ δὲ μαλακῷ, ὁ καρτερικός· τὸ μὲν γὰρ καρτερεῖν, ἐστὶν ἐν τῷ ἀντέχειν· ἡ δ᾽ ἐγκράτεια, ἐν τῷ κρατεῖν. ἕτερον δὲ τὸ ἀντέχειν καὶ κρατεῖν, ὥσπερ καὶ τὸ μὴ ἡττᾶσθαι τοῦ νικᾶν· διὸ καὶ αἱρετώτερον ἐγ-B κράτεια καρτερίας ἐστίν. ὁ δ᾽ ἐλλείπων, πρὸς ἃ οἱ πολλοὶ καὶ ἀντιτείνουσι, καὶ δύνανται, οὗτος μαλακὸς καὶ τρυφῶν· καὶ γὰρ ἡ τρυφή, μαλακία τις ἐστίν· ὃς ἕλκει τὸ ἱμάτιον, ἵνα μὴ πονήσῃ τὴν ἀπὸ τοῦ αἴρειν λύπην· καὶ μιμούμενος τὸν κάμνοντα, οὐκ οἴεται ἄθλιος εἶναι, ἀθλίῳ ὅμοιος ὤν. ὁμοίως δὲ ἔχει καὶ περὶ ἐγκράτειαν καὶ ἀκρασίαν. οὐ γὰρ εἴ τις ἰσχυρῶν καὶ ὑπερβαλλουσῶν ἡδονῶν ἡττᾶται, C ἢ λυπῶν, θαυμαστόν, ἀλλὰ καὶ συγγνωμονικόν, εἰ ἀντιτείνων, ὥσπερ ὁ Θεοδέκτου Φιλοκτήτης ὑπὸ τοῦ ἔχεως πεπληγμένος· ἢ ὁ Καρκίνου ἐν τῇ Ἀλόπῃ Κερκύων· καὶ ὥσπερ οἱ κατέχειν πειρώμενοι τὸν γέλωτα, ἀθρόον ἐκκαγχάζουσιν, οἷον συνέπεσε Ξενοφάντῳ, ἀλλ᾽ εἴ τις πρὸς ἃς οἱ πολλοὶ δύνανται ἀντέχειν, τούτων ἡττᾶται, καὶ μὴ δύναται ἀντιτείνειν, μὴ διὰ φύσιν τοῦ γένους, ἢ διὰ νόσον, D οἷον ἐν τοῖς Περσῶν βασιλεῦσιν ἡ μαλακία διὰ τὸ γένος, καὶ ὡς τὸ θῆλυ πρὸς τὸ ἄρρεν διέστηκε. δοκεῖ δὲ καὶ ὁ παιδιώδης, ἀκόλαστος εἶναι· ἔστι δὲ μαλακός· ἡ γὰρ παιδιά, ἄνεσίς ἐστιν, εἴπερ οὖν ἀνάπαυσις· τῶν δὲ πρὸς ταύτην ὑπερβαλλόντων, ὁ παιδιώδης ἐστίν. ἀκρασίας δέ, τὸ μὲν, προπέτεια· τὸ δέ, ἀσθένεια· οἱ μὲν γὰρ βουλευσάμενοι, οὐκ ἐμμένου-E σιν οἷς ἐβουλεύσαντο, διὰ τὸ πάθος· οἱ δέ, διὰ τὸ μὴ βουλεύσασθαι, ἄγονται ὑπὸ τοῦ πάθους· ἔνιοι γάρ, ὥσπερ οἱ προγαργαλίσαντες, οὐ γαργαλίζονται, οὕτω καὶ προαισθόμενοι, καὶ προϊδόντες, καὶ προεγείραντες ἑαυτοὺς καὶ τὸν λογισμόν, οὐχ ἡττῶνται ὑπὸ τοῦ πάθους· οὔτ᾽ ἂν ἡδὺ ᾖ, οὔτ᾽ ἂν λυπηρόν. μάλιστα δ᾽ οἱ ὀξεῖς καὶ μελαγχολικοί, τὴν F προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ μὲν γάρ, διὰ τὴν ταχυτῆτα· οἱ δέ, διὰ τὴν σφοδρότητα, οὐκ ἀναμένουσι τὸν λόγον, διὰ τὸ ἀκολουθητικοὶ εἶναι τῇ φαντασίᾳ.

## CAPVT IX.

At intemperans, sicut dictum est, non est eiusmodi, vt eum pœniteat, perstat enim in proposito, sed incôtinentem quodam-

## Κεφάλαιον θ.

Ἔστι δέ, ὁ μὲν ἀκόλαστος, ὥσπερ ἐλέχθη, οὐ μεταμελητικός· ἐμμένει γὰρ τῇ προαιρέσει· ὁ δ᾽ ἀκρατής, μεταμελητικὸς